# Ε'. ΠΛΟΥΤΑΡΧΟΥ

## ΕΚ ΤΩΝ ΑΠΟΦΘΕΓΜΑΤΩΝ.

Ὁ Πλούταρχος ἐγεννήθη εἰς Χαιρώνειαν τῆς Βοιωτίας 50 ἔτη μ. Χ. Σπουδάσας δὲ τὴν φιλοσοφίαν εἰς Ἀθήνας, τὴν ἐδίδαξεν εἰς Ῥώμην, καὶ ἐχρημάτισε διδάσκαλος τοῦ Αὐτοκράτορος Ἀδριανοῦ. Ὁ Τραϊανὸς τὸν διώρισεν ἔπαρχον Ἰλλυρίας. Περὶ τὰ ἔσχατά του δὲ διορισθεὶς ἱερεὺς τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος, ἀπέθανεν ἑβδομηκοντούτης εἰς Χαιρώνειαν. Ἔγραψε 44 βιογραφίας ἐπισήμων Ἑλλήνων καὶ Ῥωμαίων, συγκρίνων τοὺς μὲν πρὸς τοὺς δέ, καὶ διὰ τοῦτο ἐπιγράφει αὐτὰς ΠΑΡΑΛΛΗΛΟΥΣ ΒΙΟΥΣ. Συνέγραψε δὲ καὶ διάφορα ἄλλα ΗΘΙΚΑ καὶ ΦΙΛΟΣΟΦΙΚΑ πονήματα.

ΚΟΤΥΣ ὁ Θρακῶν βασιλεὺς[1] φύσει ὢν ὀξὺς εἰς ὀργήν, καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις[2] κολαστής, σκεύη ποτὲ κεράμεα κομίσαντος αὐτῷ ξένου εὔθραστα καὶ λεπτά, πιθανῶς[3] δὲ καὶ περιττῶς εἰργασμένα γλυφαῖς τισι καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ σκεύη πάντα συνέτριψεν, Ὅπως, εἶπε, μὴ δι᾽ ὀργὴν πικρότερον κολάζω τοὺς συντρίβοντας.

Διονύσιος ὁ πρεσβύτερος[4], πρὸς τὸν πυθόμενον, εἰ σχολάζοι, Μηδέποτε, εἶπεν, ἐμοὶ τοῦτο συμβαίη.

Ἀρχέλαος[5], ἀδολέσχου κουρέως[6] ἐρωτήσαντος αὐτόν, πῶς σε κείρω; Σιωπῶν, ἔφη.

Φίλιππος ὁ Ἀλεξάνδρου πατήρ, ληφθέντων πολλῶν αἰχμαλώτων, ἐπίπρασκεν αὐτοὺς ἀνεσταλμένῳ τῷ χιτῶνι καθήμενος οὐκ εὐπρεπῶς. Εἷς οὖν τῶν πωλουμένων ἀνεβόησε· Φεῖσαί μου, Φίλιππε, πατρικὸς γάρ εἰμί σου φίλος. Ἐρωτήσαντος δὲ τοῦ Φιλίππου, Πόθεν, ὦ ἄνθρωπε, γενόμενος[7], καὶ πῶς; Ἐγγύς, ἔφη, φράσαι σοι βούλομαι προσελθών. Ὡς οὖν προσήχθη, Μικρόν, ἔφη, κατωτέρω τὴν χλαμύδα ποίησον· ἀσχημονεῖς γὰρ οὕτω καθήμενος. Καὶ ὁ Φίλιππος, Ἄφετε αὐτόν, εἶπεν· ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος ἐλάνθανε.

Μαχέτᾳ δέ τινι κρίνων δίκην καὶ ὑπονυστάζων, οὐ πάνυ προσεῖχε τοῖς δικαίοις, ἀλλὰ κατέκρινεν. Ἐκείνου δὲ ἀναβοήσαντος ἐκκαλεῖσθαι[8] τὴν κρίσιν, διοργισθείς, Ἐπὶ τίνα; εἶπεν. Καὶ ὁ Μαχέτας, ἐπὶ σέ, βασιλεῦ, αὐτόν, ἂν ἐγρηγόρως καὶ προσέχων ἀκούῃς. Τότε μὲν οὖν ἀνέστη[9] γενόμενος δὲ

1) Καὶ πενθερὸς τοῦ στρατηγοῦ τῶν Ἀθηναίων Ἰφικράτους. 2) Εἰς τὰς οἰκιακὰς ὑπηρεσίας. 3) Ἐντέχνως. 4) Τύραννος τῆς Σικελίας, πατὴρ τοῦ νεωτέρου Διονυσίου, ὅστις, ἐκπεσὼν τῆς ἀρχῆς ὑπὸ Δίωνος, κατήντησε γραμματοδιδάσκαλος εἰς τὴν Κόρινθον. 5) Βασιλεὺς τῆς Μακεδονίας. 6) Πάθος τῶν κουρέων γενικόν, τοῦ ὁποίου καὶ τὴν αἰτίαν ἀποδίδει ἐν τῷ περὶ ἀδολεσχίας ὁ Πλούταρχος. 7) (Ἐνν.) αὐτῷ φίλος. 8) Κάμνει ἔφεσιν τῆς δίκης εἰς ἀνώτερον δικαστήριον· ὅθεν καὶ ὠργίσθη ὁ Φίλιππος, διότι ἀνώτερον ἑαυτοῦ δικαστὴν δὲν ἐγνώριζε.
9) Ἐσηκώθη καὶ ἀνεχώρησε· διέλυσε (καθὼς λέγομεν τώρα) τὴν συνεδρίασιν.